῾ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν E
χερσὶ διατρίψας ὀδυνήφατον, ἥ οἱ ⟨ἅπάσας
ἔσχ᾽ ὀδύνας· τὸ μὲν ἕλκος ἐτέρσετο,⟩ παύσατο δ᾽ αἷμα.᾽

τὸ γὰρ τῇ γεύσει πικρὸν τῇ δυνάμει ξηραντικὸν ὀρθῶς προσηγόρευσεν. φαίνεται δὲ καὶ τὰ διαπάσματα τῶν γυμνικῶν, οἷς ἀναρπάζουσι τοὺς ἱδρῶτας, πικρὰ τῇ γεύσει καὶ στυπτικὰ ὄντα σφοδρότητι †τοῦ στρυφνοῦ τὸ πικρόν†. ῾οὕτως οὖν᾽ ἔφην ῾τούτων ἐχόντων, εἰκότως ἡ τῶν ἀμυγδαλῶν πικρότης βοηθεῖ πρὸς τὸν ἄκρατον, ἀναξηραίνουσα τοῦ σώματος τὰ ἐντὸς καὶ οὐκ ἐῶσα πίμπλασθαι τὰς φλέβας, ὧν διατάσει φασὶ καὶ ταραχῇ συμβαίνει τὸ μεθύειν. F τεκμήριον δὲ τοῦ λόγου μέγα τὸ συμβαῖνον περὶ τὰς ἀλώπεκας· ἂν γὰρ ἀμυγδάλας πικρὰς φαγοῦσαι ⟨μὴ⟩ ἐπιπίωσι⟨ν, ἀποθνήσκουσι⟩ τῶν ὑγρῶν ἀθρό⟨ως ἐκλει⟩πόντων.᾽ |

## ΠΡΟΒΛΗΜΑ Ζ 625

*Διὰ τί μᾶλλον ἀκράτῳ χαίρουσιν οἱ γέροντες*

Collocuntur Plutarchus (v. p. 32, 22) et alii

**1.** Ἐζητεῖτο περὶ τῶν γερόντων, διὰ τί μᾶλλον ἀκρατοτέρῳ τῷ ποτῷ χαίρουσιν. οἱ μὲν οὖν κατεψυγμένην τὴν ἕξιν αὐτῶν καὶ δυσεκθέρμαντον οὖσαν οἰόμενοι διὰ τοῦτο τῇ σφοδρότητι τῆς κράσεως ἐναρμόττειν ἐφαίνοντο κοινόν τι καὶ πρόχειρον οὐχ ἱκανὸν δὲ πρὸς τὴν αἰτίαν οὐδ᾽ ἀληθὲς λέγοντες· καὶ γὰρ ἐπὶ τῶν ἄλλων αἰσθήσεων